# 04 APRILIE

# PARACLISUL SF.IERARH TEONA AL TESALONICULUI

PARACLISIER-GR

www.tezaurliturgic.ro



# ΘΕΩΝΑΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΠΑΡΑΚΛΗΣΙΣ

*(Γεωργίου Γαλανοπούλου, π. Νεκτάριος Μαμαλοῦγκος,)*

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:
*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*
Ὁ χορός: *Ἀμήν.*
Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
*Δι᾿ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾿ (142).*

Καὶ εὐθὺς ψάλλεται τετράκις ἐξ᾿ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*
Στίχ. α᾿. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τὸ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*
*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...*
Στίχ. γ'. *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*
*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*
Τὸν ἱεράρχην τῆς Χριστοῦ Ἐκκλησίας, τῆς Λέσβου βλάστημα καὶ Ἄθωνος δόξαν, οἱ εὐσεβεῖς ὑμνήσωμεν ᾠδαῖς ἱεραῖς· χαίροις Πάτερ ἀξιΰμνητε, ἐκβοῶντες χαρμονικῶς, φρούρει Θεσσαλονικεῖς, Αἰτωλοὺς Μακεδόνας, ἐν Βαπτιστοῦ καὶ Μάρτυρος Μονάς, τοὺς ἀσκουμένους, καὶ σὲ μεγαλύνοντας.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμὸς ν' (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ἐνδόξου Ἱεράρχου, ᾄσω ἄθλους. Γεωργίου.*

## Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.

Ἐνθέως ὑμνεῖν σου ὦ Θεωνᾶ, τὰ θαύματα δίδου, θείας χάριτος φωτισμόν, καὶ κάθαρον νοῦν σῶμα ψυχήν μου, ἐξ ἀμαρτάδων τῆς Λέσβου τὸ καύχημα.

Νεώτατος ἔδραμες πρὸς Χριστόν, τῷ ἔρωτι Τούτου, τετρωμένος ἐν τῇ ψυχῇ· διὸ θεῖον πόθον δὸς λιταῖς σου, ἀρχιεράρχα ἡμῖν τοῖς σὲ μέλπουσι.

Δεήθητι Πάτερ τῷ Ἰησοῦ, Χριστῷ ἀναστάντι, ἐκ νεκάδων λαμπροφανῶς, κινδύνων καὶ θλίψεων ῥυσθῆναι, τοὺς σὲ τιμῶντας ἐν τῷδε σεμνείῳ σου.

*Θεοτοκίον.*

Ὀδύνην ψυχῇ μου τῇ ῥυπαρᾷ, προύξένησε Μῆτερ, ἡ διάνοια πρὸς ῥοπήν, ὠθοῦσα τὴν φύσιν ἀμαρτάνειν, ἀλλ’ εἰς χαρὰν ταύτης ἄλγος μετάτρεψον.

## Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ξενοδόχησον Μάρτυς χώρᾳ τρυφῆς ἅπαντας, ὡς ἐφιλοφρόνησας ξένους, πόλει τῶν Σάρδεων, καὶ πειρασμῶν ἐξελοῦ, δαιμονικῆς ἐπηρείας, ὦ θερᾶπον πάντιμε, τοὺς σὲ γεραίροντας.

Οἰδημάτων τὰ ἄλγη ἡμῶν πληγὴ τραύματα, ἴασαι σοφὲ ἐπιχέων, Ὕδωρ ὡς βάλσαμον, πηγῆς ἁγιαστικόν, ἔξωθεν θείου ναοῦ σου, ὡς ἀκέστωρ ἄριστος, πᾶσιν ἀνάργυρος.

Ὑψηλόφρονος γνώμης παρ’ ὃ δεῖ ἀπάλλαξον, καὶ φορνεῖν μοι δὸς ἄνω Μάρτυς, ἀεὶ τὰ κρείττονα, ὥσπερ ἐβίωσας σύ, ἐν πολιτείᾳ ἀμέμπτῳ, ἵνα δόξης μέτοχον, Κύριος δείξεις με.

### *Θεοτοκίον.*

Ἰακὼβ καλλονήν Σε Θεὸς ἐξελέξατο, ἵνα ἐν γαστρί Σου οἰκήσει, Λόγος ὁ ἄκτιστος, Ὃν ἐκδυσώπει ἁγνή, ἁμαρτωλῶν σωτηρία, ἀγαγεῖν εἰς εὔκλειαν, ἡμᾶς οὺς δούλους Σου.

Διάσωσον ἀρχιεράρχα Κυρίου τοὺς ἀνυμνοῦντας, μνήμην θείαν σου ψαλμικῶς, καὶ σκῆνος τιμῶντάς σου, ῥυόμενος ἐκ νόσων καὶ κινδύνων.
Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

### *Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάτην θερμὸν καὶ πρέσβυν σε πρὸς εὔσπλαγχνον, πτωχῶν ἀρωγὸν νοσούντων τὸν θεράποντα, πλουτιστὴν κεκτήμεθα, πάντες θείας χάριτος λέγοντες· πρόφθασον ἡμᾶς ῥῦσαι πειρασμῶν, ὦ Θεωνᾶ ἱεράρχα τάχιστα.

### *ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἐλευθέρωσον Ἅγιε, ἐχθροῦ ἐπηρείας ἡμᾶς κακώσεων, καὶ λαμπρῷ φωτί σου φώτισον, τὰς καρδίας τῶν ᾠδαῖς μελπόντων σε.
Ῥαθυμίας ἐκδίωξον, ψυχικὴν ἀπώθει πλάνας αἱρέσεων, ἀφ᾽ ἡμῶν ποιμὴν θεόσοφε, καὶ παράσχου βίον ἀνεπίληπτον.

Αὐγασθεὶς θείᾳ χάριτι, νόσους σὺ ἰάσω τῶν προσιόντων σοι, νῦν κάμῶν τῶν εὐφημούντων σε, ἔπαρον ἐμπύρετον ἀσθένειαν.

*Θεοτοκίον.*

Ῥυπαρώτερος γέγονα, πάντων συμβουλῇ πονηρᾷ τοῦ ὄφεως, ἁμαρτήμασιν ἀλλ' ἔκπλυνον, πρὸς Υἱόν Σου Μῆτερ Σαῖς δεήσεσι.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Χάριν σου σοροῦ, Θεωνᾶ ἡμῖν κατάπεμψον, ἔνδοξε Θεσσαλονίκης προεστέ, τοῖς εἰς τὴν μάνδρα, Ἀθληφόρου νῦν σπουδάζουσιν.

Ὄρους ἀναβάς, ἀρετῶν τὰ ὕψη πάντιμε, ἔλκυσον ἡμᾶς πρὸς βίον ταπεινόν, ὅπως εἰς δόξαν, Χριστοῦ τὴν λαμπρὰν ἀνέλθωμεν.

Ὕψωσον πιστούς, Θεωνᾶ πρὸς τὰ σκηνώματα, τῆς ἀθανάτου εὐκλείας τοῦ Θεοῦ, ταῖς σαῖς πρεσβείαις, ἐκτρέπων σατᾶν πρὸς τὰ ἔνεδρα.

*Θεοτοκίον.*

Ἄρτον τῆς Ζωῆς, φυραθέντα Μῆτερ ἔτεκες, ἐν γαστρί Σου ἀφύρτως Υἱὸν Θεοῦυ, Ὃν ἐκδυσώπει, βροτῶν σῶσαι τῷ φυράματι.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Συνέτριψας, τῶν δαιμόνω φρύαγμα, ἀσκηθεὶς καρτερικῶς ἐν βασάνοις· ὅθεν ἡμῖν, δὸς Θεωνᾶ στεῤῥόν σου, τοῦ ὑπομένειν ἐν βίῳ τὰ πάνδεινα, καὶ

φεύγειν τόξων ἐχθρικῶν, προσβολὰς ἰοβόλους τῇ σκέπῃ σου.

Ὢ κύπους, πρὸς σορόν σου ἔρχομαι, τοῦ ἀσπάσασθαι αὐτὴν ἀρχιθῦτα· διὸ ὁδόν, τὴν σωτηρίον δεῖξον, καὶ μετανοίας τὰς πύλας μου ἄνοιξον, δροσίζων χάριτι τῇ σῇ, τὴν αὐχμῷ ἐκτακεῖσαν καρδίαν μου.

Δαιμόνων, ἐγεννήθη ἐπίχαρμα, ἡδοναῖς τῆς ἁμαρτίας δουλεύσας, ὅτι κακῶν, ἡ ψυχὴ ἐμολύνθη, καὶ ὡς ἰχθὺν ὁ βελίαρ ἐζώγρησεν, ἀλλὰ πρὸ τέλους Θεωνᾶ, ταῖς λιταῖς ἐκβοῶ Σῶτερ σῶσόν με.

*Θεοτοκίον.*

Θεόπαις σύ, παρθενίας ἄνθισμα, ἀνεφύης ἐκ κοιλίας τῆς Ἄννης· σὺ γὰρ τροφός, γλυκασμὸς καὶ ἀγάπη, ἡμῶν ὑπάρχεις ἐλπὶς καὶ μεσίτρια· ἀεὶ δ’ ὑμνοῦμέν Σε πιστῶς, προσκυνοῦντες τὸν ἄφραστον Τόκον Σου.

Διάσωσον ἀρχιεράρχα Κυρίου τοὺς ἀνυμνοῦντας, μνήμην θείαν σου ψαλμικῶς, καὶ σκῆνος τιμῶντάς σου, ῥυόμενος ἐκ νόσων καὶ κινδύνων.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν*

Ἀντιλήπτωρ πέλεις εὐσεβῶν παναοίδιμε, καὶ μεσίτης τῶν Χριστιανῶν πρὸς τὸν Κύριον, σὺ τρισμάκαρ Ἀναστασίας τὴν μάνδραν φρουρεῖς· διὸ πρόφθασον θεῖε ποιμήν, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν θερμῶς

δεομένων σου· ἴασαι ἀσθενοῦντας, καὶ ῥῦσαι δαιμονοπλήκτους, τὸ δ' Ὄρος τήρει ἀβλαβές, πειρασμῶν τὸ ἁγιώνυμον

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ*
Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*
*Εὐαγγέλιον.*
Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*
Μὴ οὖν ἀποῤῥίψεις, σαρκὸς τὸν μεμολυσμένον, καὶ παθῶν τὸν ἄστατον, σὲ νῦν καταφεύγοντα, ἱερώτατε Ἅγιε, σῶσόν με πιστῶς προσπίπτοντα, τῇ σορρῷ σου ἀσπαζομένοις, ἴασιν δώρησαι ἄμφω, τῶν κινδύνων ἐκλύτρωσαι, θλίψεων ἐξαιρούμενον, καὶ τῶν χαλεπῶν συμφορῶν τοῦ βίου, ἵν' ὑμνολογῶ σου, πληθὺν τῶν θαυμασίων ἀληθῶς, καὶ μεγαλύνω μελίσμασι, Θεωνᾶ τὴν μνήμην σου.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Λαμπρῶς σὲ μεγαλύνει ἡ πληθὺς Χριστωνύμων ἀρχιεράρχα Χριστοῦ, εὐχαῖς σου αἰτουμένη, ἐκρύσασθαι κινδύνων, καὶ τρυφῆς ἀξιώσασθαι, τῆς Βασιλείας Θεοῦ, ὡς ἔχων παῤῥησίαν.
Οἱ πόθῳ σε τιμῶντες σπουδάζουσι σὸν σκῆνος ἐν Ἀθληφόρου Μονῇ, πιστῶς κατασπασθῆναι, ἵνα

φλογὸς ῥυσθῶσιν αἰωνίου κραυγάζοντες· ὦ Θεωνᾶ τὸν Θεόν, ὑπὲρ ἡμῶν δυσώπει.
Ὑπήκοόν σου Πάτερ, ἡμῖν δεῖξον πρὸς πάντας τὸ ταπεινὸν καὶ σεμνόν, ἀνύσασθαι τὰς τρίβους, πρὸς θείαν σωτηρίαν, τῷ Παντάνακτι κράζοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Σὲ ἄσπιλε Παρθένε, οἱ πάντες καθορῶμεν Βᾶτον ὡς ὄρει Μωσῆς, προεῖδεν ἐν Σιναίῳ, πυρὶ παραδοθεῖσαν, ὅμως ἄφλεκτος μείνασαν· διὸ ἡμῶν πῦρ παθῶν, τῇ χάριτό Σου σβέσον.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Γάννυται Λέσβος, ἐν σοὶ σὺν Θεσσαλονίκῃ, καὶ Χριστῷ καυχώμεναι βοῶσι· σῶσον ἡμᾶς Σῶτερ, ταῖς Θεωνᾶ πρεσβείαις.
Ἐλέους θείου, καὶ δωρεῶν ἔμπλησόν με, ταπεινῶς φρονεῖν ἵν᾽ ἀνυμνῶ σε, Θεωνᾶ τρισμάκαρ, τῆς Αἰτωλίας δόξα.
Ὤφθης πολλάκις, Πάτερ λαὸν περισκέπων, καὶ πιστοὺς σὴν λάρνακα τιμῶντας· ὅθεν ἡμᾶς σκέπε, ἐκ τόξων τῶν δαιμόνων.

*Θεοτοκίον.*

Ῥῦσαι γεέννης, τῶν οὐρανῶν πλατυτέρα, γηγενῶν ἁγνὴ ἁγιωτέρα, πάντας τοὺς ὑμνοῦντας, τὴν Σὴν κηδεμονίαν.

### *Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Γαλήνιον δὸς βίον, ἔπαρον τὰς θλίψεις νόσους δεινὰς ἀφ' ἡμῶν Θεωνᾶ ἱερέ, καὶ ἐξελοῦ Ὀρθοδόξους βλάβης αἱρέσεων.

Ἱκέτευε Σωτῆρα, ὅπως ἀπαλλάξει, ἁμαρτιῶν ψυχοφθόρων ἡμᾶς Θεωνᾶ, τοὺς τὴν σὴν ἔνδοξον μνήμην πανηγυρίζοντας.

Ὀρδὰς τῶν κακοδόξων, σκόρπισον ταχέως, ἡμᾶς τὰς ἐπαπειλοῦσας, δουλοῦσθαι οἰκτρῶς, καὶ ὑπερμάχει Ἑλλήνων, τῶν ἀνυμνούντων σε.

### *Θεοτοκίον.*

Ὑψίστου ἡ καθέδρα, πέεις ἐν τῷ πόλῳ· διὸ δυσώπει Υἱόν, σωθῆναι ἡμᾶς, τοὺς ἀληθῆ Θεοτόκον, ὁμολογοῦντάς Σε.

### *Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Χαίροις εὐσεβείας φάρος λαμπρός, κρήνη τῶν χαρίτων, τῶν θαυμάτων ὁ ποταμός, Θεωνᾶ ὁ μύστης, καὶ Πνεύματος τὸ σκεῦος, τροφὴ τῶν δεομένων, ψυχοσωτήριος.

Ποίησον θεόφρον σαῖς προσευχαῖς, ἡμᾶς Χριστοκέντρους, ἐν τῷ βίῳ εἶναι παντί, τοῦ φρονεῖν τὰ

ἄνω, Βασίλεια τῆς δόξης, Θεοῦ μὴ ἐντολῶν Του, δ’ ἐπιλανθάνεσθαι.
Δὸς ἡμῖν τὰ κρείττω ταῖς σαῖς λιταῖς, ὢ ἀρχιεράρχα, τοῦ Κυρίου πανευκλεές, ἱλασμὸν πταισμάτων, ταπείνωσιν ἀγάπην, φόβον Θεοῦ καὶ πίστιν, βίου διόρθωσιν.
Ποίει ποίμνην γαίης ἐλλαδικῆς, σαῖς πρεσβείαις Πάτερ, εἶναι ἄμπελον τοῦ Χριστοῦ, ἵν’ ἀεὶ ὑμνῇ σου, ἐξαίσια σημεῖα, πρὸς τρίβον μετανοίας ἴθυνων ἕκαστον.
Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες είς Σέ μή

ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι᾽ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β᾽. Ὅτε ἐκ τοῦ ξύλου.*

Πέλεις, ὁδηγὸς Χριστιανῶν, τεῖχος ὀχυρὸν ἀντιλήπτωρ, καὶ τῶν πτωχῶν ἀρωγός, ὦ ποιμὴν θεόσοφε, ἀρχιεράρχα Χριστοῦ, καταπλήττεις δὲ θαύμασι, τοῖς πόθῳ δραμοῦσι, καὶ ἐπικουρίαν σου, ἐπιζητοῦσι θερμῶς· ὅθεν, δίδου πᾶσι τὰ κρείττω, σώζων ἐκ φθορᾶς νοσημάτων, τοὺς σὴν θείαν μνήμην μεγαλύνοντας.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου είς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*